ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτὴς ἀποδιδοὺς ἁμαρ-
τίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μι-
6 σοῦσίν με [6]καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσίν με καὶ
7 τοῖς φυλάσσουσιν τὰ προστάγματά μου. — [7]οὐ λήμψῃ τὸ ὄνομα
κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν
8 λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. — [8]μνήσθητι τὴν ἡμέ-
9 ραν τῶν σαββάτων ἁγιάζειν αὐτήν. [9]ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις
10 πάντα τὰ ἔργα σου· [10]τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα κυρίῳ τῷ
θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ ὁ υἱός σου καὶ
ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ
ὑποζύγιόν σου καὶ πᾶν κτῆνός σου καὶ ὁ προσήλυτος ὁ παροι-
11 κῶν ἐν σοί. [11]ἐν γὰρ ἓξ ἡμέραις ἐποίησεν κύριος τὸν οὐρανὸν
καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ κατέ-
παυσεν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· διὰ τοῦτο εὐλόγησεν κύριος τὴν
12 ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν. — [12]τίμα τὸν πατέρα
σου καὶ τὴν μητέρα, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος
γένῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς κύριος ὁ θεός σου δίδωσίν σοι.
13/16 — [13]οὐ μοιχεύσεις. — [14]οὐ κλέψεις. — [15]οὐ φονεύσεις. — [16]οὐ
ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ. —
17 [17]οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. οὐκ ἐπιθυμήσεις
τὴν οἰκίαν τοῦ πλησίον σου οὔτε τὸν ἀγρὸν αὐτοῦ οὔτε τὸν
παῖδα αὐτοῦ οὔτε τὴν παιδίσκην αὐτοῦ οὔτε τοῦ βοὸς αὐτοῦ οὔτε
τοῦ ὑποζυγίου αὐτοῦ οὔτε παντὸς κτήνους αὐτοῦ οὔτε ὅσα τῷ
πλησίον σού ἐστιν.

18 [18]Καὶ πᾶς ὁ λαὸς ἑώρα τὴν φωνὴν καὶ τὰς λαμπάδας καὶ τὴν
φωνὴν τῆς σάλπιγγος καὶ τὸ ὄρος τὸ καπνίζον· φοβηθέντες δὲ
19 πᾶς ὁ λαὸς ἔστησαν μακρόθεν. [19]καὶ εἶπαν πρὸς Μωυσῆν Λάλη-
σον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός, μήποτε ἀποθά-
20 νωμεν. [20]καὶ λέγει αὐτοῖς Μωυσῆς Θαρσεῖτε· ἕνεκεν γὰρ τοῦ
πειράσαι ὑμᾶς παρεγενήθη ὁ θεὸς πρὸς ὑμᾶς, ὅπως ἂν γένη-
21 ται ὁ φόβος αὐτοῦ ἐν ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε. [21]εἱστήκει δὲ ὁ
λαὸς μακρόθεν, Μωυσῆς δὲ εἰσῆλθεν εἰς τὸν γνόφον, οὗ ἦν ὁ θεός.

22 [22]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Τάδε ἐρεῖς τῷ οἴκῳ Ιακωβ
καὶ ἀναγγελεῖς τοῖς υἱοῖς Ισραηλ Ὑμεῖς ἑωράκατε ὅτι ἐκ τοῦ οὐ-
23 ρανοῦ λελάληκα πρὸς ὑμᾶς· [23]οὐ ποιήσετε ἑαυτοῖς θεοὺς ἀργυροῦς
24 καὶ θεοὺς χρυσοῦς οὐ ποιήσετε ὑμῖν αὐτοῖς. [24]θυσιαστήριον ἐκ

5 εως — γενεας] επι τριτην και τεταρτην γενεαν A: cf. Deut. 5 9 || 7 κυριος] + ο θεος σου B†: cf. Deut. 5 11 || 10 κυριω > A† | οι υιοι A* (uid.): cf. Deut. 5 14 || 11 τον] + τε A | και την θαλ. > B*† || 12 μητερα] + σου Bc: cf. Deut. 5 16 || 13/14 post 15 tr. A = M || 17 ουτε 1° 2° 3°] ουδε A: cf. Deut. 5 21 || 19 μηποτε] μη B† || 21 ο θεος] pr. εκει A† || 23 εαυτοις] υμιν αυτοις B(†) | αυτοις] εαυτοις B

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/172 UNIVERSITÄT LEIPZIG